κἂν ἄλλο τι πάθος πολιορ
κῇ· πάντα ταῦτα δυνήσῃ κα
ταστεῖλαι τὸν χειμῶνα· καὶ
γαλήνην ἐργάσασθαι καὶ
εἰρήνην πολλὴν τῇ ψυχῇ·
Ἧς γένοιτο πάντας ἡμᾶς
ἀπολαύειν· χάριτι καὶ
φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ· μεθ' οὗ τῷ πατρὶ ἅμα
τῷ ἁγίῳ πνεύματι δόξα· νῦν
καὶ ἀεὶ καὶ εἰς τοὺς
αἰῶνας τῶν αἰ
ώνων· ἀμήν :~

+ Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰω(άννου)
τοῦ Χρυσοστόμου πρὸς τοὺς ἀπολει
φθέντας τῆς συνάξεως
καὶ τοῦ ὁμοούσιον εἶναι τὸν
υἱὸν καὶ τῷ πατρὶ ἀπόδειξις·
καὶ ὅτι τὰ ταπεινῶς εἰρη
μένα καὶ γεγενημένα πα
ρ' αὐτοῦ, οὐ δι' ἀσθένειαν δυ
νάμεως ἐγένετο· ἀλλὰ διὰ οἰκο
νομίας διαφόρους· περὶ
ἀκαταλήπτου
λόγος ζ' κύριε εὐλόγησον :~

λόγος ζ'

Πάλιν ἱπποδρομίαι· καὶ
πάλιν ὁ σύλλογος ἡμῶν
ἐλάττων γέγονε· μᾶλλον
δὲ, ἕως ἂν ὑμεῖς παρῆ
τε, οὐκ ἂν γένοιτο ἐλάτ
των· ὥσπερ γὰρ γεωρ
γός, εἰ τὸν σῖτον ἀκμά
ζοντα καὶ ἀπηρτισμέ
νον ἴδοι· οὐ πολλὴν ποι
εῖται λόγον· τῶν φύλλων
καταπεσόντων· οὕτω
δὴ καὶ ἐγὼ νῦν· τοῦ καρ
ποῦ παρόντος ἡμῖν· οὐ
τοσαύτην ποιοῦμαι τὴν
ὀδύνην· τῶν φύλλων ἀναρ
παζομένων ἔξωθεν·
ἀλγῶ μὲν γάρ· καὶ διὰ τὴν
ῥαθυμίαν ἐκείνων·
παραμυθεῖται δὲ ὅμως
τὴν ἐπ' ἐκείνοις ἀλγηδό
να· τῆς ὑμετέρας ἀγά
πης ἡ προθυμία· ἐκεῖ
νοι μὲν γὰρ κἂν παραφέ
ρονται ποτέ· οὐδὲ τό
τε παρ' ἡμῖν· ἀλλὰ τὸ μὲν
σῶμα αὐτοῖς ἐν ταῦθα
ἵδρυται· ἡ διάνοια δὲ ἔξω.

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG

BIBLIOTECA APOSTOLICA VATICANA

The Polonsky Foundation

© Biblioteca Apostolica Vaticana
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_15/0121